τῶν τὰ σώματα πρὸς ὥραν ἀλλὰ τῶν τὰς ψυχὰς
πρὸς ἀρετὴν εὖ πεφυκότων ἐφιέμενος. ἐτεκμαίρετο
δὲ τὰς ἀγαθὰς φύσεις ἐκ τοῦ ταχύ τε μανθάνειν οἷς
προσέχοιεν, καὶ μνημονεύειν ἃ ἂν μάθοιεν, καὶ ἐπι-
θυμεῖν τῶν μαθημάτων πάντων, δι᾽ ὧν ἐστὶν οἰκίαν
τε καλῶς οἰκεῖν καὶ πόλιν, καὶ τὸ ὅλον ἀνθρώποις
τε καὶ ἀνθρωπίνοις πράγμασιν εὖ χρῆσθαι. τοὺς γὰρ
τοιούτους ἡγεῖτο παιδευθέντας οὐκ ἂν μόνον αὐτούς τε
εὐδαίμονας εἶναι καὶ τοὺς ἑαυτῶν οἴκους καλῶς οἰκεῖν,
ἀλλὰ καὶ ἄλλους ἀνθρώπους καὶ πόλεις δύνασθαι εὐ-
δαίμονας ποιεῖν. Οὐ τὸν αὐτὸν δὲ τρόπον ἐπὶ 3
πάντας ᾔει, ἀλλὰ τοὺς μὲν οἰομένους φύσει ἀγαθοὺς
εἶναι, μαθήσεως δὲ καταφρονοῦντας, ἐδίδασκεν, ὅτι
αἱ ἄρισται δοκοῦσαι εἶναι φύσεις μάλιστα παιδείας δέον-
ται· ἐπιδεικνύων τῶν τε ἵππων τοὺς εὐφυεστάτους,
θυμοειδεῖς τε καὶ σφοδροὺς ὄντας, εἰ μὲν ἐκ νέων δα-
μασθεῖεν, εὐχρηστοτάτους καὶ ἀρίστους γιγνομένους, εἰ
δὲ ἀδάμαστοι γένοιντο, δυσκαθεκτοτάτους καὶ φαυλο-
τάτους· καὶ τῶν κυνῶν τῶν εὐφυεστάτων, φιλοπόνων
τε οὐσῶν καὶ ἐπιθετικῶν τοῖς θηρίοις, τὰς μὲν καλῶς
ἀχθείσας, ἀρίστας γίγνεσθαι πρὸς τὰς θήρας καὶ
χρησιμωτάτας, ἀναγώγους δὲ γιγνομένας, ματαίους
τε καὶ μανιώδεις καὶ δυσπειθεστάτας· ὁμοίως δὲ 4
καὶ τῶν ἀνθρώπων τοὺς εὐφυεστάτους, ἐρρωμενεστάτους
τε

ταχύ τε] MS. Stob. ταχύτερον μ. Sane ταχύ τε videtur et in ſeqq. καὶ μνημονεύειν aliquod verbum poſtulare, quod ei reſpondeat, vt, *diu, ſemper:* quod non eſt, ſi ταχύτερον ſcripſit Xenophon. *Ern.*

προσέχοιεν] Stob. προσέχουσι.

ὅλον] Ibid. ὅλως.

ἀνθρώποις τε καὶ] Abeſt τε ibid. et in edd. vett. Caeterum εὖ χρῆσθαι ἀνθρώποις eſt *ita ſe gerere erga homines, vt illi non noceant, ſed proſint. Ergo opus eſt, vt ſuos cuiusque mores, ingenium facultatesque noſcas.* Verum τοῖς ἀνθρωπίνοις πράγμασιν εὖ χρ. eſt *diſcernere bonas malasue res, vt has vites, illas ſecteris.*

αὐτούς τε] Pro τε eſt γε apud Stob. et mox deſunt verba καὶ τοὺς ἑαυτῶν οἴκους καλῶς οἰκεῖν.

§. 3. ᾔει] *Non omnes autem eodem modo tractabat.* In edd. vett. eſt εἴη, vitioſe, opinor.

ἀχθείσας] Edd. vett. ἀναχθείσας, perperam. De canibus educandis idem verbum ἄγεσθαι adhibetur de Venat. III, 11.

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden http://digital.slub-dresden.de/id375455116/251 gefördert von der Deutschen Forschungsgemeinschaft